Πάγχυ γὰρ ἐκ μεγάλων ἀχέων παυσαίμεθ᾽ ἂν οὕτως,
Ἀργαλέων τ᾽ ἐν ὅπλοις ξυνόδων. Κλεοφῶν δὲ μαχέσθω,
Κἄλλος ὁ βουλόμενος τούτων πατρίοις ἐν ἀρούραις.

A *Sic equidem innumeris releuabimur undique damnis,*
*Et strepitu armisono: Cleopho sua prælia tractet,*
*Et malè quisquis amat, patrio super orbe, tumultus.*

Σχόλια. Παυσαίμεθ᾽ ἄν.] τὸ παυσαίμεθα εἶπεν ὁ χορὸς διότι τῷ μὲν δοκεῖν, ἐν ᾅδου ἦν. τὸ δ᾽ ἀληθὲς Ἀθήνησιν ἔνθα ἐτελεῖτο τὸ δρᾶμα. ξυνόδων δὲ, συμπλοκῶν ἃς ἡ πόλις νῦν πάσχει. Κλεοφῶν δὲ μαχέσθω.] παρόσον ὡς Ἀριστοτέλης φησὶ μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν, Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι. ἐφ᾽ οἷς ἔχουσιν ἑκάτεροι, καὶ εἰρήνην ἄγειν ἐπὶ τοῦ καλλίου, Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώ- B ρακα ἐνδεδυκὼς, οὐ φάσκων ἐπιτρέψειν, ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι. πρὸς τοῦτο δὲ ὁ Κλεοφῶν, ὡς ξένος κωμῳδεῖται καὶ βάρβαρος. οὗ καὶ ἄνω ἐμνήσθη εἰπών φιλοτιμότεραι Κλεοφῶντος ἐφ᾽ οὗ χείλεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμει Θρηκία χελιδών. μαχέσθω οὖν φησὶ Κλεοφῶν καὶ οἱ ἄλλοι ὅσοι τούτῳ ὅμοιοί εἰσιν, ἐν ταῖς πατρίσιν αὐτῶν, καὶ μὴ ἐν τῇ Ἀττικῇ κινείτωσαν πολέμους. οὐ γάρ ἐστιν αὐτῷ πατρὶς αὕτη. Πατρίοις ἐν ἀρούραις.] ἐν ταῖς ἑαυτῶν ἀρούραις. κωμῳδεῖ δὲ αὐτοὺς ὡς ξένους.

ΤΕΛΟΣ ΒΑΤΡΑΧΩΝ.

FINIS RANARUM.

## ΥΠΟΘΕΣΙΣ ΙΠΠΕΩΝ ΑΡΙΣΤΟΦΑΝΟΥΣ.

ΤΟ δρᾶμα τοῦτο ποιεῖται εἰς Κλέωνα, τὸν Ἀθηναίων δημαγωγόν. ὑπόκειται δὲ ὡς Παφλαγὼν νεώνητος δουλεύων τῷ δήμῳ, καὶ προσαγόμενος παρ᾽ αὐτῷ περιττότερον. ἐπιτιθεμένων δὲ αὐτῷ δυοῖν τοῖν ὁμοδούλοιν, καὶ κατά τινα λόγια πονηρίᾳ διάσημον ἀλλαντοπώλην Ἀγοράκριτον ἐπαγόντοιν ὡς ἐπιτροπεύσῃ τοῦ δήμου τῶν Ἀθηναίων, αὐτοὶ οἱ Ἀθηναίων ἱππεῖς συλλαβόντες, ἐν χοροῦ σχήματι παραφαίνονται. ὑφ᾽ ὧν περιπλακιζόμενος ὁ Κλέων ἀγανακτεῖ. καὶ διενεχθεὶς ἱκανῶς περὶ τοῦ ἀνώτερος εἶναι τῶν ἐναντιουμένων, σφᾶς ὡς συνομωμοκότας κατὰ τῆς πόλεως πρὸς τὴν βουλὴν ἵεται. διώξαντος δὲ καὶ τοῦ Ἀλλαντοπώλου κατὰ πόδας οἱ ἱππεῖς, περί τε τοῦ ποιητοῦ τινὰ καὶ τῶν προγόνων, ἔτι δὲ καὶ τῶν κινδυνευόντων σφίσιν ἐπὶ ταῖς μάχαις, πρὸς τοὺς πολίτας ἀμφοτέρους διαλέγονται. ὅ, τε Ἀλλαντοπώλης παραγεγενημένος ἐν βουλῇ μάλα γενναίως κατὰ τοῦ Κλέωνος, καὶ λοιδορούμενος αὖθις αὐτῷ προσέρχεται. ἐκκαλεσαμένου δὲ τοῦ Κλέωνος τὸν δῆμον, προσελθὼν τούτου, διαφερομένων ἀκροᾶται. λόγων δὲ πολλῶν γινομένων κατὰ τοῦ Κλέωνος, τοῦ Ἀγορακρίτου μάλ᾽ ἐντέχνως τοῖς ἐπινοήμασι καὶ ταῖς θωπείαις, καὶ προσέτι ταῖς ἐκ τῶν λογίων ὑποβολαῖς κρατοῦντος, κατὰ μικρὸν ὁ δῆμος τοῖς λόγοις συνεφέλκεται. δείσαντος δὲ τοῦ Κλέωνος κἀπὶ τὸ ψωμίζειν τὸν δῆμον ὁρμήσαντος ἀντιψωμίζειν ἅτερος ἐγχειρεῖ. καὶ τέλος τοῦ δήμου τὴν ἑκατέρου σίτησιν συνιέντος, εἶτα τῆς μὲν κενῆς, τῆς δὲ τοῦ Κλέωνος μεστῆς εὑρεθείσης, ἐλεγχθεὶς αὐτὸς, ὥσπερ περιφανὴς τὰ τοῦ δήμου κλέπτων ἐκβάλλεται τῆς ἐπιτροπείας. μετὰ ταῦτα δὲ τοῦ Ἀλλαντοπώλου τὸν δῆμον ἀφεψήσαντος, εἶτα νεώτερον ἐξ αὐτοῦ ἐς τοὐμφανὲς γεγονότα προσαγαγόντος Κλέων ὁ περικείμενος τὴν Ἀγορακρίτου θατέραν σκευὴν ἐπὶ παραδειγματισμοῦ διὰ μέσης πόλεως Ἀλλαντοπωλῶν ἀνὰ μέρος καὶ τῇ τέχνῃ χρησάμενος πέμπεται, καὶ ἡ ἐπιτροπὴ τῷ Ἀλλαντοπώλῃ παραδίδοται. Τὸ δὲ δρᾶμα, τῶν ἄγαν καλῶς πεποιημένων. ἄλλως. Ὁ σκοπὸς αὐτῷ πρὸς τὸ καθελεῖν Κλέωνα. οὗτος γὰρ βυρσοπώλης ὢν ἐκράτει τῶν Ἀθηναίων ἐκ προφάσεως τοιαύτης. Ἀθηναῖοι πόλιν Πύλον λεγομένην Σφακτηρίαν, ἐπολιόρκουν διὰ Δημοσθένους στρατηγοῦ καὶ Νικίου. ὧν στρατηγῶν χρονισάντων, ἐδυσχέραινον οἱ Ἀθηναῖοι. καὶ εἰς ἐκκλησίαν συνελθόντων αὐτῶν καὶ ἀδημονούντων, Κλέων τις βυρσοπώλης ἀναστὰς, ὑπέσχετο δεσμίους φέρειν τοὺς ἐναντίους, εἴσω εἴκοσιν ἡμερῶν, εἰ στρατηγὸς αἱρεθείη, ὅπερ καὶ γέγονε, κατὰ τὰς ὑποσχέσεις οὖν ἐστρατήγει, κυκῶν τὴν πόλιν. ἐφ᾽ οἷς μὴ ἐνεγκὼν Ἀριστοφάνης, καθίησι τὸ τῶν ἱππέων δρᾶμα δι᾽ αὐτοῦ. ἐπεὶ τῶν σκευοποιῶν οὐδεὶς ἔπλασατο τὸ τοῦ Κλέωνος πρόσωπον διὰ φόβον. καὶ τὰ μὲν πρῶτα κρύπτει φοβούμενος. εἶτα προφανῶς αὐτὸ ἀνεδίδαξε τὸ δρᾶμα. Ἔοικεν ὁ προλογίζων εἶναι Δημοσθένης ὃς ἐκεκμήκει περὶ τὴν Πύλου πολιορκίαν. ἀφῃρέθη δὲ τὴν στρατηγίαν ὑπὸ Κλέωνος ὑποσχομένου ποτὲ τοῖς Ἀθηναίοις, παραστήσασθαι τὴν Πύ-